☾, εἶτα τὸν ♂, εἶτα τοὺς πλείονας ἔχοντας λόγους οἰκοδεσποτίας πρός τε τὴν ☾. καὶ τὴν προγενομένην πανσέληνον καὶ τὸν κλῆρον τῆς τύχης, εἰδὲ μὴ τελευταῖον συνοδικῆς μὲν οὔσης τῆς προγεγενημένης συζυγίας, τὸν ὡροσκόπον, πανσεληνιακῆς δὲ τὸν κλῆρον τῆς τύχης, εἰδὲ μὴ τελευταῖον ὁ ὡροσκόπος ἀφήσει τοὺς χρόνους. εἰδὲ καὶ ἀμφότερα τὰ φῶτα καὶ ὁ τῆς οἰκείας αἱρέσεως οἰκοδεσπότης ἐν τοῖς ἀφετικοῖς εἶεν τόποις, τὸν μὲν τῷ κυριωτέρῳ τόπῳ τῶν φώτων παραληπτέον, τότε δὲ μόνον τὸν οἰκοδεσπότην ἀμφοτέρων προκριτέον, ὅταν καὶ κυριώτερον ἐπέχῃ τόπον, καὶ πρὸς ἀμφοτέρας τὰς αἱρέσεις οἰκοδεσποτίας λόγον ἔχῃ.

## Πόσοι τρόποι ἀφέσεως.

Τοῦ δὲ ἀφετικοῦ διακριθέντος, ἔτι καὶ τῶν ἀφέσεων δύο τρόπους παραληπτέον, τόν τε εἰς τὰ ἑπόμενα τῶν ζῳδίων μόνον ὑπὸ τὴν καλουμένην ἀκτινοβολίαν, ὅταν ἐν τοῖς ἀπηλιωτικοῖς, τουτέστι τοῖς ἀπὸ τοῦ μεσουρανήματος ἄχρι τὸν ὡροσκόπον τόποις ὁ ἀφέτης ᾖ. καὶ τοῦτον, οὐ μόνον εἰς τὰ ἑπόμενα ἀλλὰ καὶ εἰς τὰ προηγούμενα κατὰ τὴν λεγομένην ὡριμαίαν ὅταν ἐν τοῖς ἀποκεκλικόσι τοῦ μεσουρανήματος τόποις ὁ ἀφέτης ᾖ, τούτων δὲ οὕτως ἐχόντων ἀναιρετικαὶ γίνονται μοῖραι, κατὰ μὲν τὴν εἰς τὰ προηγούμενα τῶν ζῳδίων ἄφεσιν, ἡ τοῦ δυτικοῦ ὁρίζοντος μόνη, διὰ τὸ ἀφανίζειν τὸν κύριον τῆς ζωῆς, αἱ δὲ τῶν οὕτως ἀπαντώντων ἢ μαρτυρούντων ἀστέρων, ἀφαιροῦσι μόνον ἢ προστιθέασιν ἔτη, τοῖς ὑπὸ τοῦ ἀφέτου συναγομένοις, μέχρι τῆς καταδύσεως τοῦ ἀφέτου, * καὶ ἀναιροῦσι διὰ τὸ μὴ αὐτοὺς ἐπιφέρεσθαι τῷ ἀφετικῷ τόπῳ, ἀλλ᾽ ἐκεῖνον τοῖς αὐτῶν. καὶ προστιθέασιν οἱ ἀγαθοποιοί, ἀφαιροῦσι δὲ οἱ κακοποιοί. ὁ δὲ τοῦ ☿ πάλιν, ὁποτέροις αὐτῶν συσχηματισθῇ προστιθέμενος. ὁ δὲ ἀριθμὸς τῆς προσθέσεως ἢ ἀφαιρέσεως θεωρεῖται διὰ τῆς καθ᾽ ἕκαστον μοιροθεσίας, ὅσοι γ᾽ ἂν ὦσιν ὡριαῖοι χρόνοι τῆς ἑκάστου μοίρας, ἡμέρας μὲν οὔσης, οἱ τῆς ἡμέρας, νυκτὸς δὲ οἱ τῆς νυκτός, τοσοῦτον πλῆθος ἐτῶν ἔσται τὸ τέλειον, ὅπως ἐκ τῆς ἀνατολῆς αὐτῶν ὄντων ὅλον λογιστέον καὶ κατὰ τὸ ἀνάλογον τῆς ἀποχωρήσεως ὑφαιρετέον, ἕως ἂν πρὸς τὰς δύσεις εἰς τὸ μηδὲν καταντήσῃ, κατὰ δὲ τὴν εἰς τὰ ἑπόμενα τῶν ζῳδίων ἄφεσιν, ἀναιροῦσιν οἵ τε τῶν κακοποιῶν τόποι ♄ καὶ ♂ ἤτοι σωματικῶς ὑπαντώντων, ἢ ἀκτῖνα ἐπιφερόντων ὅθεν δήποτε τετράγωνον ἢ διάμετρον, ἐνίοτε δὲ καὶ ἀπὸ τῶν ἀκουόντων ἢ βλε-